καὶ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ λαλῆσαι τὸ μυστήριον τοῦ εὐαγγελίου. Τί λέγεις; τοσαύτην ἡμῖν παῤῥησίαν αἱ προσευχαὶ διδόασιν, ὡς ὑπὲρ Παύλου τολμᾷν τὸν θεὸν ἱκετεύειν; τίς τολμᾷ στρατιώτης ὑπὲρ τοῦ μεγάλου στρατηγοῦ τὸν βασιλέα παρακαλεῖν; Καίτοι γε οὐδεὶς οὕτως στρατηγὸς τῷ βασιλεῖ φίλος, ὡς Παῦλος τῷ θεῷ. ἀλλ' ὅμως εἰς τοσαύτην ἀξίωσιν ἡμᾶς αἱ προσευχαὶ τιμὴν ὡς ὑπὲρ Παύλου τολμᾷν τὸν θεὸν ἱκετεύειν.

Οὕτω καὶ Πέτρος ὁ μέγας, ὁ τοῦ οὐρανοῦ λαμπρότερος, τὸ δεσμωτήριον διέφυγεν. μάλιστα μὲν διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ τὴν κοινὴν τῶν ἀνθρώπων σωτηρίαν· ἔπειτα

incumbite vigilãtes in ea, in gratiarũ actione: simul etiam ꝑ me orate; vt mihi sermo detur in apertione oris mei cũ fiducia, vt loquar euangelij mysterium. *Quid ais? tantam nobis audaciam preces tribuunt, vt Deo ꝑ Paulo supplicare audeamus? Quis miles regẽ ꝑ summo duce audeat obsecrare? At nullus dux regi ita carus, & amicus fuit, vt Paulus Deo. Sed tamen preces tantum nobis afferunt dignitatis, vt diuinum auxiliũ Paulo implorare non dubitemus.*

*Ita Petrus ille summus, cœlo splendidior, carcerem effugit ob suã quidem virtutem, probitatemque potissimum, & ob communem hominum salutem: deinde verò*